Τοῦ αὐτοῦ.

Πολλάκις ἐξέτασα τὴν φιλότητα καὶ ὕβριν·
Καὶ πολὺ κουφοτέρην τὴν φιλότητα μαθών,
Αἰδοίην δὲ ῥέπουσαν, ἐχωρίσθην φιλότητος,
Μηκέτι βαστάζων ὕβριν ἀλιμοπάτην.

---

## ΕΙΣ ΤΥΧΗΝ, κεφ. π.

Ἄδηλον.

Ἐλπὶς καὶ σὺ τύχη μέγα χαίρετε· τὸν λιμέν' εὗρον.
Οὐδὲν ἐμοὶ χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου,
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν με ποτ' ᾤετο, καὶ πάλιν οὗτος
Οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ τύχης.

Ἄδηλον.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν,
Ὡς κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτραις,
Συρίσδων καλάμοισιν, ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν, ἐϋκτιμένην πόλιν ἄλλην
Πατρίδα μαστεύσωμεν. ἀπαγγελέω δ' ἄρα πᾶσιν
Ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.

ΠΑΛΛΑΔΑ.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
Ἀσυγκέραστον τὴν φύσιν κεκτημένη,
Καὶ συγκυκῶσα καὶ μεταντλοῦσα πάλιν,
Αὐτὴ κάπηλός ἐστι νῦν τις οὐ θεά.

Τέχνην